Ακαδημία Αθηνών / Academy of Athens



*τῆς ἐν ἰσχύϊ νομολογίας τοῦ Ἀβδουρραχίμ, τυπωθείσης ἐν Κπ. κατὰ τὸ ἔτος 1827 καὶ μεταφρασθέντων ἐκ τοῦ τουρκικοῦ, ὑπὸ Δ. Κ ο υ μ ο υ ν δ ο υ ρ ά κ η . . .»*. Περὶ τῆς σημασίας τῆς λ. *«ἀβδουρραχίμ»*, βλ. ἐν *335*, σ. 490.

## 276

1715–1733. Διάταξις πΚ. Ἱ ε ρ ε μ ί ο υ Γ',

περὶ ἐθιμικοῦ κληρον. δικαίου ἐν περιοχαῖς Θ ρ ᾴ κ η ς, ἐν *80*, σ. 46–47.

*«Ἱερώτατε μητροπολῖτα Φιλιππουπόλεως . . . καὶ εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες τῶν χωρίων Στενημάχου καὶ Ἀμπελιανοῦ . . . ἀποφαινόμεθα συνοδικῶς . . . ἵνα ἀπὸ τοῦ νῦν . . . κληρονομῶσι τὸν θανόντα τὰ θηλυκὰ παιδία ὡς νενόμισται. Οἱ ἀδελφοὶ τοῦ θανόντος καὶ ἐξάδελφοι καὶ ἀνεψιοὶ μακρὰν ἀπέχωσιν ἀπὸ τὴν ἄδικον ἀπαίτησιν τῆς παρανόμου κληρονομίας . . .»*.

## 277

1715–1733. Συνοδικὸν Γράμμα πΚ. Ἱ ε ρ ε μ ί ο υ Γ' περὶ κληρονομικῶν ζητημάτων κλπ.

ἐν *70*, Α' σ. 148–151.

*«Ἀποκρινούμεθα . . . ὅτι ἡ διατετιμημένη προὶξ καὶ ἡ ἀδιατίμητος ἀντικειμένως ἔχουσιν, ὡς καὶ ἐκ τῶν ὀνομάτων δῆλον ἐστί. Καὶ ἡ μὲν διατετιμημένη προὶξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἀποθάνῃ τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσιν ὁ ἀνήρ, καὶ ἡνίκα παραλάβῃ τι εἰς προῖκα κατὰ διατίμησιν, χρεωστεῖ τὴν τιμήν, κἂν τε ἐβελτίωσεν αὐτὸς κερδαίνει, κἂν τε ἐμείωσεν αὐτὸς κινδυνεύει καὶ ὑπόκειται. Τῆς δὲ ἀδιατιμήτου προικὸς καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ, καὶ λαμβάνει μὲν αὐτὴ τὸν τοκετὸν τῶν δούλων, τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει. Πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα, καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγενομένων, εἰς ἀναπλήρωσιν δηλονότι τῶν πρωτοτύπων. Οὐκ ἔστιν οὖν τὴν ἀδιατίμητον προῖκα ἰσοδυναμεῖν τῇ διατετιμημένῃ, εἰ καὶ τοὐναντίον ἔσθ' ὅτε συμβαίνει, καὶ ἡ διατετιμημένη προὶξ ὡς ἀδιατίμητος γίνεται καὶ λογίζεται, κατὰ συναρέσκειαν καὶ θέλησιν ἀμφοτέρων τῶν μερῶν τοῦ ἀνδρογύνου καὶ τῇ γυναικὶ κινδυνεύει, ἀλλὰ τὸ ἐκ συμφωνίας ἀμφοτέρων τῶν μερῶν τοῦ ἀνδρογύνου γίνεται, οὐ μὴν δὲ ἁπλῶς καὶ ὡς ἔτυχε. Τὴν δὲ ἀδιατίμητον προῖκα ἰσοδυναμεῖν τῇ διατετιμημένῃ οὐ γέγραπται περὶ τούτου ὅλως ἐν τοῖς νομικοῖς διατάγμασι, καὶ λοιπὸν παράλογος ἐστὶν ἡ περὶ τούτου αὐτόθι συνήθεια καὶ οὐ δεῖ ταύτην ἐνεργεῖσθαι τοῦ λοιποῦ, ὡς ἀγνοουμένην τοῖς ἱεροῖς νόμοις. Ἡ αὔξησις δὲ καὶ τὸ κέρδος τῶν χάριν προικὸς δοθέντων μετρητῶν, καὶ οἱ καρποὶ τῆς λοιπῆς προικὸς καὶ ἡ τῶν θρεμμάτων γονὴ τῆς γυναικὸς ἔτι ζώσης, τοῦ ἀνδρὸς εἰσίν, ὡς προείρηται, ἀπαραμειώτων σωζομένων τῶν πρωτοτύπων.*

*Ὅταν δὲ ἡ γυνὴ ἀποθάνῃ καὶ καταλείψῃ παιδίον, τηνικαῦτα τὰ χάριν προικὸς δοθέντα μετρητὰ καὶ ἡ λοιπὴ καθόλου προὶξ καὶ περιουσία τῆς μητρὸς τοῦ παιδίου, καὶ δὴ καὶ αἱ πρὸ γάμου δωρεαὶ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα, εἴτε πράγματα, εἴτε ἄσπρα, ταῦτα πάντα κληρονομία γίνονται τοῦ καταλειφθέντος παιδίου, πλὴν ἐὰν φυλάξῃ χηρείαν παντελῆ εἰς τὸ ἑξῆς ὁ ἀνήρ, καὶ μηκέτι εἰς ἄλλον ἀποβλέψῃ γάμον, τότε λαμβάνει αὐτὸς τὸ τέταρτον*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*μέρος ἀπὸ ὅλης τῆς προικὸς καὶ περιουσίας τῆς γυναικὸς αὐτοῦ, τὰ δὲ λοιπὰ πάντα ὑπάρχουσι τοῦ παιδίου κληρονομία. Εἰ δὲ θελήσῃ λαβεῖν καὶ ἄλλην αὖθις γυναῖκα ὁ ἀνήρ, μηδόλως μετέχει τῶν τῆς γυναικὸς αὐτοῦ ὑπαρχόντων, ἀλλὰ τὰ πάντα εἰσὶ τοῦ παιδίου, ὅπερ παιδίον αὐτὸς ὁ πατὴρ ὀφείλει παρακατέχειν καὶ ζωοτροφεῖν αὐτὸ οἰκείαις ἐξόδοις καὶ ἀναλώμασι, διαφυλάττων καὶ σώζων ἀπαραμείωτα τὰ τῆς μητρὸς τοῦ αὐτοῦ παιδίου ὑπάρχοντα, ἕως οὗ ἔλθῃ εἰς τελείαν ἡλικίαν τὸ παιδίον καὶ παραλάβῃ αὐτά. Ἐὰν δὲ ὁ πατὴρ τοῦ παιδίου, λαβὼν ἑτέραν γυναῖκα, ὕποπτος ἐστὶν ὡς καταναλώσει καὶ μέλλει διαφθεῖραι τὰ μητρικὰ ὑπάρχοντα τοῦ παιδίου, καὶ ὡς οὐκ ἐπιμελήσεται τούτου καλῶς καὶ ὡς δεῖ, τότε παραλαμβάνουσιν αὐτὸ τὸ παιδίον, μετὰ τῶν μητρικῶν αὐτοῦ ὑπαρχόντων οἱ γονεῖς τῆς ἀποθανούσης γυναικός, ζωοτροφοῦντες αὐτοὶ τοῦτο ἐξ ἰδίων, τὰ δὲ μητρικὰ αὐτοῦ ὑπάρχοντα φυλάττοντες σῶα καὶ ἀπαραμείωτα, ἕως τελείας αὐξήσεως τοῦ παιδίου. Ἐὰν δὲ καὶ αὐτοὶ ὕποπτοι εὑρεθῶσι, δέον παραδοθῆναι τὰ μητρικὰ ὑπάρχοντα τοῦ παιδίου τινὶ τῶν συγγενῶν, ἢ καὶ ἄλλῳ πιστῷ καὶ ἀνυπόπτῳ προσώπῳ, εἰς διατήρησιν αὐτῶν καὶ διαφύλαξιν ἀσφαλῆ.*

*Ἐὰν δὲ τὸ παιδίον αὐτὸ συμβῇ ἀποθανεῖν ἀνήλικον, τὴν προῖκα καὶ περιουσίαν τῆς μητρὸς αὐτοῦ δέον διανεμηθῆναι εἰς τρία μέρη, καὶ τὸ μὲν ἓν μέρος δοθῆναι εἰς τὴν κηδείαν καὶ τὰ μνημόσυνα τοῦ ἀποιχομένου, τὸ δὲ ἕτερον μέρος λαβεῖν τὸν πατέρα τοῦ παιδίου, τὸ δὲ ἄλλο λαβεῖν τοὺς γονεῖς τῆς ἀποθανούσης γυναικὸς τῆς καὶ μητρὸς τοῦ παιδίου.*

*Τὰ θεώρητρα δὲ τὰ μὲν ἡμίση ὑπάρχουσι τοῦ ἀνδρὸς τὰ δὲ λοιπὰ ἡμίση τῆς γυναικός, καὶ συναριθμοῦνται καὶ ταῦτα, τὰ τῆς γυναικὸς δηλαδὴ θεώρητρα, τῇ λοιπῇ περιουσίᾳ αὐτῆς. Τὸ δὲ στεφανιάτικον ὑπάρχει τῆς γυναικός . . .».*

## 278

1715–1733. Διάγνωσις πΚ. Ἱερεμίου Γ',

δι' ἧς κηρύσσεται διαλελυμένη ἡ μεθ' ἱερολογίας μνηστεία, ἀποδημοῦντος τοῦ μνηστῆρος ἐπὶ πενταετίαν, ἢ διὰ τὴν τῆς τύχης ἀλλαγήν, περιπεσόντος τοῦ μνηστῆρος εἰς δυστυχίαν, ἐν *70*, τ. Α', σ. 209–210.

*«. . . τῆς ῥηθείσης μνηστείας αὐτῶν δι' ἱερολογίας συντελεσθείσης, τὰ ἴσα τε τοῦ γάμου ἐπεχούσης, καὶ μὴ διαλυομένης ῥαδίως καὶ χωρὶς εὐλόγου καὶ νομίμου αἰτίας, αὐτὸς ἀπελογήσατο καὶ προὐβάλετο ἀδυνάτως ἔχειν ἀποδημῆσαι ἐντεῦθεν . . . διὰ τὴν ἐπισυμβᾶσαν αὐτῷ δυστυχίαν καὶ διὰ τὸ ἐπικείμενον αὐτῷ βαρὺ χρέος, τῶν δανειστῶν αὐτοῦ μὴ ἀφιέντων, μηδὲ συγχωρούντων αὐτῷ τὴν ἐντεῦθεν ἀποδημίαν. Τούτου χάριν, τῆς ἀνάγκης αὐτοῦ ταύτης μηδεμίαν διόρθωσιν καὶ θεραπείαν ἐπιδεχομένης, καὶ τῆς γαμικῆς αὐτῶν συνοικήσεως ἀδυνάτου ἀναφανείσης, ἐπειδὴ οἱ ἱεροὶ καὶ θεῖοι νόμοι, πρὸς ταῖς ἄλλαις αἰτίαις, ἐφ' αἷς ἀξιοῦσι διαλύεσθαι τὴν μνηστείαν, μίαν τίθενται καὶ ἀριθμοῦσι καὶ τὴν τῆς τύχης ἀπαλλαγήν, ὁπότε δηλαδὴ δυστυχίᾳ περιπέσῃ θάτερον μέρος τῶν μνηστευομένων, καθὼς καὶ ἐπὶ τοῦ ῥηθέντος . . . συνέβη, τοῦτο μὲν διὰ τὴν δυστυχίαν αὐτοῦ, νόμιμον οὖσαν αἰτίαν εἰς διάλυσιν, τοῦτε δὲ προνοούμενοι τῆς ῥηθείσης Β., ὥστε μετὰ τὴν πενταετῆ ὑπομονὴν μηκέτι κινδυνεύειν περαιτέρω κατὰ ψυχήν, διὰ τὴν στέρησιν τῆς ἀνδρικῆς περιθάλψεως, κυβερνήσεώς τε καὶ ζωοτροφίας αὐτῆς, δεῖν ἔγνωμεν διαζεῦξαι αὐτοὺς ἀπ' ἀλλήλων ἐκκλησιαστικῶς . . .».*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ